ὄμβροι τε κατέκλυσαν, ἐξαίσιοι καταρραγέντες· ἐπιδρομαί τε κυμάτων, καὶ ἀναχωρήσεις πολλάκις καὶ ἤπειροι ἐθαλάττωσαν, καὶ θαλάττας ἠπείρωσαν· βίαι τε πνευμάτων καὶ τυφώνων, ἔστιν ὅτε πόλεις ὅλας ἀνέτρεψαν· πυρκαϊαί τε καὶ φλόγες, αἱ μὲν, ἐξ οὐρανοῦ γενόμεναι πρότερον, ὥσπερ φασὶν, ἐπὶ Φαέθοντος, τὰ πρὸς ἕω μέρη κατέφλεξαν· αἱ δὲ πρὸς ἑσπέρας ἐκ γῆς ἀναβλύσασαι καὶ ἐκφυσήσασαι, καθάπερ τῶν ἐν Αἴτνῃ κρατήρων ἀναρραγέντων, καὶ ἀνὰ τὴν γῆν φερομένων χειμάρρου δίκην· ἔνθα καὶ τὸ τῶν εὐσεβῶν γένος ἐξόχως ἐτίμησε τὸ δαιμόνιον, περικαταληφθέντων ὑπὸ τοῦ ῥεύματος, διὰ τὸ βαστάζειν γέροντας ἐπὶ τῶν ὤμων γονεῖς, καὶ σώζειν· πλησίον γὰρ αὐτῶν γενόμενος ὁ τοῦ πυρὸς ποταμὸς ἐξεσχίσθη. παρέτρεψέ τε, τὸ μὲν, ἔνθα· τὸ δὲ, ἔνθα· καὶ ἐτήρησεν ἀβλαβεῖς ἅμα τοῖς γονεῦσι τοῖς νεανίσκοις, καθόλου δὲ, ὅπερ ἐν νηῒ κυβερνήτης, ἐν ἅρματι δὲ ἡνίοχος, ἐν χορῷ δὲ κορυφαῖος, ἐν πόλει δὲ νόμος, ἐν στρατοπέδῳ δὲ ἡγεμών· τοῦτο θεὸς ἐν κόσμῳ· πλὴν καθ' ὅσον, τοῖς μὲν, καματηρὸν τὸ ἄρχειν, πολυκίνητόν τε, καὶ πολυμέριμνον· τῷ δὲ, ἄλυπον, ἄπονόν τε, καὶ πάσης κεχωρισμένον σωματικῆς ἀσθενείας· ἐν ἀκινήτῳ γὰρ ἱδρυμένος, πάντα κινεῖ, καὶ περιάγει, ὅπου βούλεται, καὶ ὅπως, ἐν διαφόροις τε ἰδέαις καὶ φύσεσιν· ὥσπερ ἀμέλει καὶ ὁ τῆς πόλεως νόμος, ἀκίνητος ὢν, ἐν ταῖς τῶν χρωμένων ψυχαῖς πάντα οἰκονομεῖ τὰ κατὰ τὴν πολιτείαν· ἑπόμενοι γὰρ αὐτῷ, δηλονότι ἐξίασιν, ἄρχοντες μὲν, ἐπὶ τὰ ἀρχεῖα· θεσμοθέται δὲ, εἰς τὰ οἰκεῖα δικαστήρια· βουλευταὶ δὲ καὶ ἐκκλησιασταὶ, εἰς συνέδρια τὰ προσήκοντα· καὶ ὁ μέν τις, εἰς τὸ πρυτανεῖον βαδίζει σιτησόμενος· ὁ δὲ, πρὸς τοὺς δικαστὰς, ἀπολογησόμενος· ὁ δὲ, εἰς τὸ δεσμωτήριον, ἀποθανούμενος. γίνονται δὲ καὶ δημοθοινίαι νόμιμοι, καὶ πανηγύρεις ἐνιαύσιοι, θεῶν τε θυσίαι, καὶ ἡρώων θεραπεῖαι, καὶ χοαὶ κεκμηκότων· ἄλλα δὲ ἄλλοις ἐνεργούμενα, κατὰ μίαν πρόσταξιν, ἢ νόμιμον ἐξουσίαν, σώζει τὸ τοῦ ποιήσαντος ὄντως,

A indéque hiatus extiterint, vt imbres vi
maiore ruentes, diluuium in terram intulerint, vt excurſiones vndarum, receſſúſq.
tum continentes mari obruerint ſæpenumero, tum rurſus maris alueos adiecerint
continentibus vt vis flatuum & vorticum
oppida funditus diſturbarit: denique vt
incēdia atque inflammationes aliquæ ſupernè delapſantes, partes orbis exuſſerint verſas ad Orientem, vt Phaëthontis
B tempore contigiſſe dicitur: quædam etiam vt è terra erumpentes, veluti expirabundæ idem fecerint: vt quum crateres
Aetnæ abrupta terra patefacti, conflagrationem emiſerunt inſtar torrentis per terram graſſabundam. Quo tempore qui è
mortalium genere pietate erant imbuti,
ij à numine diuino eximio honore ingentíque affecti ſunt. Si quidem iuuenes & robore valentes, cùm parentes ſuos ætate
C iam confectos humeris ſuſtuliſſent, igneo
flumine iamiam opprimendi, in eo erant
ipſi vt interirent: cùm ecce flumen ipſum
ita ſe ſcidit, vt huc & illuc diuerſi fluctus
digrederentur, iuuenéſque intactos cum
ſenibus tranſmitterent. Vt verò ſummatim iam loquamur: quod in naui gubernator eſt, quod in curru agitator, quod in
choro præcentor: quod denique lex in
ciuitate, & dux in exercitu: hoc Deus eſt
D in mundo. Niſi ſi hactenus intereſt, quòd
labor, & motus multiplex illos exercet, &
curæ angunt variæ: cùm huic illaborata
ſuccedant omnia, omnis moleſtiæ expertia, citráque corporis infirmitatem: quippe cui in loco ſtabili immotóque collocato, omnia mouere & circumagere pro
arbitratu liceat, quo libitum eſt cunque,
& quo modo libitum eſt, idque diuerſis
in formis ſimul atque naturis. Id autem
ratione ſimili facit ille, atque lex ciui-
E lis: quæ immobilis ipſa exiſtens in vtentium animis, regit omnia ad Remp. pertinentia. Et ciues quidem quaſi eius aſſeclę in medium prodeunt: qui autem Principes vocantur, ad prætorium ſe conferunt: Legiſlatores ad propria tribunalia:
Senatores denique, & qui Concionatores dicuntur, ad conſeſſus ſibi contributos conueniunt. Rurſus is in Prytaneum
it, cui ſcilicet id datum eſt, in eo vt
F publico victu epuletur: alter rapitur ad
iudicium, cauſam vt ibi dicat: in carcerem alius compingitur, vt ſupplicio

afficiatur illic. Tum verò epulones in ciuitate celebres ad epulas legitimáſque conueniunt. Iam verò aguntur dies feſti, iā ludicra ſolemnia: iam anniuerſaria ſacrificia fiūt diuis, heroéſq. ritu ſuo colūtur: poſtremò inferiæ mortuis inferūtur. Sic alia ab aliis facta, vno vel imperio, vel legis vna authoritate, aſſeruāt eū qui obtemperat.